# TEZAUR LITURGIC

## 13 AUGUST

ANTONIOS MARKOU

# SLUJBA SF.IERARH TIHON, EPISCOPUL VORONEJULUI

ATENA,2010


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 13 Αὐγούστου

# Ἀκολουθία
# Ἁγίου ΤΥΧΩΝΟΣ τοῦ Ζαντόνσκ

**Ποίημα Ἀντ. Μάρκου**

## ΜΙΚΡΟΣ ΕΣΠΕΡΙΝΟΣ

Ἱστῶμεν στίχους δ΄ καί ψάλλομεν Στιχηρά Προσόμοια. Ἦχος α΄. Τῶν οὐρανίων Ταγμάτων.

Τοῦ Παραδείσου τό ἄνθος* τό εὐωδέστατον,* Χριστοῦ τὴν εὐωδίαν* ἀποπνέοντα ὅλως,* Τύχωνα αἰνέσωμεν, τῶν αὐτοῦ* θαυμασίων τρυφήσαντες,* Εὐαγγελίου ὡς ἐργάτην καὶ τῆς κλεινῆς,* τοῦ Ζαντόνσκ Μονῆς ὀσφράδιον.

Χαίροις θειότατε Πάτερ* καί περιτίμητε,* Ῥωσίας θεῖον τέκνον* ὁ ἀναδειχθείς ἐν Κυρίῳ,* ἀνδρῶν τε καὶ παιδίων καὶ γυναικῶν* Πατήρ, ἀγάπης ὁ ἔμπλεος·* ὁ μοναχῶν καί μιγάδων ὁδηγητής* πρός τήν Μάνδραν τήν οὐράνιον.

Ἐν ταῖς αὐλαῖς τοῦ Κυρίου* κατηξιώθης οἰκεῖν* καὶ σὺν Ἀγγέλοις μέλπειν,* τὸν Τρισάγιον ὕμνον,* Τύχων θεῖε Πάτερ· ὑπὲρ ἡμῶν,* τῶν σῶν δούλων δεήθητι* ἐλεηθῆναι, ῥυσθῆναί τε συμπαθῶν* τῆς παρούσης περιστάσεως.

Τοῖς Ἀσωμάτοις συνήφθης* ἐπὶ τῆς γῆς κατοικῶν* καὶ σὺν αὐτοῖς ἀπαύστως,* νῦν ὑμνεῖς τὴν Τριάδα,* Τύχων θεομάκαρ· ὅθεν ἀεί,* ὡς οὐράνιος ἄνθρωπος,* περιπολεύων τὰ ἄνω ἀντιλαβοῦ* τῶν ἐν γῇ μνήμην τιμώντων σου.

Δόξα. Ἦχος δ΄.

Εὐφραίνεται ἐπί σοί, Πάτερ,* ἡ Ἐκκλησία τοῦ Χριστοῦ* μετ᾽ εὐφροσύνης κράζουσα·* χαῖρε φωστήρ αὐγάζων τήν Ῥωσίδα γῆν,* ὁ ταύτην οὐρανώσας·* χαῖρε Μονῆς Ζαντόνσκ τό εὔοσμον ἴον,* ὁ τόν Σταυρόν τοῦ Κυρίου ἀράμενος* καί σταυρικῷ τῷ τρόπῳ,* Σταυροῦ τῷ ἱστίῳ,* πρός τήν μένουσαν διαπορθμευθείς εὔκλειαν·* χαῖρε ὁ ὁδηγός,* ὁ οὐρανίᾳ ὁδηγίᾳ πιστούς ὁδηγήσας* πρός τήν πόλιν τήν μέλλουσαν.* Ὡς ἔχων παρρησίαν,* ὑπὲρ ἡμῶν Χριστῷ τῷ Κυρίῳ πρέσβευε.

Καί νῦν. Τῆς Ἑορτῆς. Ὁ αὐτός.

Τόν γνόφον τόν νομικόν* ἡ φωτεινή τῆς Μεταμορφώσεως* διεδέξατο νεφέλη,* ἐν ᾗ Μωϋσῆς καί Ἠλίας γενόμενοι* καί τῆς ὑπερφώτου δόξης ἀξιωθέντες* Θεῷ ἔλεγον·* Σύ εἶ Θεός ἡμῶν,* ὁ Βασιλεύς τῶν αἰώνων.

Εἰς τὸν Στίχον. Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.

Πρέσβευε ἐκτενῶς* ὑπὲρ τῶν μοναζόντων,* Τύχων Πάτερ τρισμάκαρ,* ῥυσθῆναι τῶν παγίδων* ἐχθροῦ τοῦ πολεμήτορος.

Στ. *Τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.*

Ἄνθος Χριστοῦ τερπνόν,* Ἱερωσύνης κλέος,* τῇ σῇ εὐωδέστατῃ* καὶ μυριπνόῳ δόξῃ,* πάντας ἡμᾶς κατηύφρανας.

Στ. *Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.*

Λύτρωσαι τῶν δεινῶν* κινδύνων ἡμᾶς πάντας,* ὦ Τύχων, δυσωποῦμεν,* ὡς ἄριστος προστάτης,* ἡμῶν καὶ φύλαξ ἄγρυπνος.

Δόξα. Καὶ νῦν. Τῆς Ἑορτῆς.

Εἶδον ἐν τῷ Θαβώρ* Μωσῆς τε καὶ Ἠλίας* τόν ἐκ Παρθένου Λόγον* Θεόν σεσαρκωμένον,* βροτῶν εἰς ἀπολύτρωσιν.

Νῦν ἀπολύεις, Τρισάγιον, Ἀπολυτίκια.

Τῆς Ἑορτῆς.

Δόξα. Τοῦ Ἁγίου. Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Τὴν τοῦ κόσμου ἡδύτητα ἀρνησάμενος,* εἰς ὁδὸν σωτηρίας πόθῳ προσέδραμες,* βίον ἰσάγγελον βιώσας

ἄριστα·* ὅθεν ἀλείπτης μοναστῶν* καὶ κυβερνήτης τῶν ψυχῶν* πανάριστος ἀνεδείχθης·* Τύχων ἀοίδιμε Πάτερ,* ἡμᾶς λιταῖς σου καὶ νῦν περίσωζε.

Καί νῦν. Πάλιν τῆς Ἑορτῆς.

Ἀπόλυσις.

## ΜΕΓΑΣ ΕΣΠΕΡΙΝΟΣ

Εὐλογήσαντος τοῦ Ἱερέως ὁ Προοιμιακός καί τό Μακάριος ἀνήρ· εἰς δέ τό Κύριε ἐκέκραξα ἱστῶμεν στίχους η΄ καί ψάλλομεν Στιχηρά τῆς Ἑορτῆς δ΄ καί τοῦ Ἁγίου δ΄.

Τοῦ Ἁγίου. Ἦχος α΄. Τῶν οὐρανίων Ταγμάτων.

Τῶν Ὀρθοδόξων οἱ δῆμοι,* Ὁσίων τάγματα,* εἰς ἓν συναθροισθέντες,* εὐφημήσωμεν πόθῳ,* θείοις ἐγκωμίοις τὸν ἱερόν* Τύχωνα, Νόβγκοροντ βλάστημα,* Ζαντόνσκ τῆς Μάνδρας τόν ὅσιον οἰκιστήν,* πρέσβυν κόσμου δέ τόν ἔνθερμον.

Χρυσόστομον τόν Νέον* τόν τῆς Ῥωσίας, πιστοί,* τιμήσωμεν εὐφρόνως,* ἐν ψυχῆς ἀνατάσει,* βοῶντες ἐκ καρδίας· χαῖρε πιστῶν* Ὀρθοδόξων διδάσκαλε,* ὁ διαθρέψας σοῖς λόγοις καί διδαχαῖς* τοῦ Κυρίου τό ἐκλόγιον.

Ἐν προσευχῇ ἀενάῳ* ὅλον ἐπτέρωσας,* τὸ νοερόν σου, Πάτερ·* φρόνημα δέ τῆς σαρκός σου,* ἐμάρανας

νηστείᾳ διηνεκεῖ·* τῇ ἀγάπῃ δὲ ἔσβεσας,* τὸ θυμικὸν· διὸ οἶκος τοῦ Παντουργοῦ* ἀνεδείχθης θείου Πνεύματος.

Δεῦτε προσπτύξασθε πάντες* οἱ νόσους ἔχοντες,* τό Ἱεράρχου δέμας,* ὅπερ ἄφθαρτον μένει·* βρύει γὰρ ἰάσεις παντοδαπάς,* τοῖς αὐτῷ γόνυ κλίνουσι* καὶ τὰ τοῦ σώματος πάθη καὶ τῆς ψυχῆς* θεραπεύει θείᾳ χάριτι.

Δόξα. Ἦχος πλ. δ΄.

Τῶν πρό σοῦ Πατέρων* τὸ σταθερὸν φρόνημα ἀναλαβὼν* καὶ τοῖς τοῦ Πνεύματος ὅπλοις* σεαυτὸν περιφραξάμενος,* ἐν τῷ σταδίῳ τοῦ κόσμου ἀγωνιζόμενος,* οὐκ ἐπτοήθης* τὰς ἀπειλουμένας σοὶ προσβολάς τοῦ ἀλάστορος,* ἀλλὰ παρρησίᾳ Χριστοῦ ὡμολόγεις τήν δύναμιν·* διὸ τοῦ μακαρίου τέλους τυχών,* σὺν αὐτοῖς αἰωνίως ἀγάλλῃ,* Τύχων Πατήρ ἡμῶν θεοπόθητε.

Καὶ νῦν. Τῆς Ἑορτῆς. Ὁ αὐτός.

Τῆς θεότητός Σου, Χριστέ,* ἀμυδράν αὐγήν παραγυμνώσας,* τοῖς συγκαταβᾶσί Σοι ἐπί τοῦ ὄρους,* τῆς ὑπερκοσμίου Σου δόξης ἐποίησας κοινωνούς.* Ὅθεν ἐνθεαστικῶς ἐκραύγαζον·* καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι.* Μεθ’ ὧν καί ἡμεῖς,* Σέ τόν μεταμορφωθέντα Σωτῆρα Χριστόν* ἀνυμνοῦμεν εἰς τούς αἰῶνας.

Εἴσοδος, Φῶς ἱλαρόν, Προκείμενον τῆς ἡμέρας, Ἀναγνώσματα.

Παροιμιῶν τὸ Ἀνάγνωσμα (Κεφ. ι΄ 7, γ΄ 13-16, ἐκλογή).

Μνήμη δικαίου μετ᾽ ἐγκωμίων καὶ εὐλογία Κυρίου ἐπὶ κεφαλὴν αὐτοῦ. Μακάριος ἄνθρωπος, ὃς εὗρε σοφίαν καὶ θνητός, ὃς εἶδε φρόνησιν. Κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς. Τιμιωτέρα δέ ἐστι λίθων πολυτελῶν· πᾶν δὲ τίμιον, οὐκ ἄξιον αὐτῆς ἐστιν. Ἐκ γὰρ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη, νόμον δὲ καὶ ἔλεον ἐπὶ γλώσσης φορεῖ. Τοιγαροῦν ἀκούσατέ μου, ὦ τέκνα, σεμνὰ γὰρ ἐρῶ· καὶ μακάριος ἄνθρωπος, ὃς τὰς ἐμὰς ὁδοὺς φυλάξει. Αἱ γὰρ ἔξοδοί μου, ἔξοδοι ζωῆς, καὶ ἑτοιμάζεται θέλησις παρὰ Κυρίου. Διὰ τοῦτο παρακαλῶ ὑμᾶς, καὶ προΐεμαι ἐμὴν φωνὴν υἱοῖς ἀνθρώπων. Ὅτι ἐγὼ ἡ Σοφία κατεσκεύασα βουλὴν καὶ γνῶσιν καὶ ἔννοιαν ἐγὼ ἐπεκαλεσάμην. Ἐμὴ βουλὴ καὶ ἀσφάλεια, ἐμὴ φρόνησις, ἐμὴ δὲ ἰσχύς. Ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ, οἱ δὲ ἐμὲ ζητοῦντες, εὑρήσουσι χάριν. Νοήσατε τοίνυν ἄκακοι πανουργίαν, οἱ δὲ ἀπαίδευτοι ἔνθεσθε καρδίαν. Εἰσακούσατέ μου καὶ πάλιν, σεμνὰ γὰρ ἐρῶ, καὶ ἀνοίγω ἀπὸ χειλέων ὀρθά. Ὅτι ἀλήθειαν μελετήσει ὁ λάρυγξ μου, ἐβδελυγμένα δὲ ἐναντίον ἐμοῦ χείλη ψευδῆ. Μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα τοῦ στόματός μου· οὐδὲν ἐν αὐτοῖς σκολιόν, οὐδὲ στραγγαλιῶδες. Πάντα εὐθέα ἐστὶ τοῖς

νοοῦσι, καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν. Διδάσκω γὰρ ὑμῖν ἀληθῆ, ἵνα γένηται ἐν Κυρίῳ ἡ ἐλπὶς ὑμῶν, καὶ πλησθήσεσθε Πνεύματος.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (Κεφ. δ΄ 14, Παροιμ. ι΄ 31).

Στόμα δικαίου ἀποστάζει σοφίαν, χείλη δὲ ἀνδρῶν ἐπίστανται χάριτας. Στόμα σοφῶν μελετᾷ σοφίαν· δικαιοσύνη δὲ ῥύεται αὐτοὺς ἐκ θανάτου. Τελευτήσαντος ἀνδρὸς δικαίου, οὐκ ὄλλυται ἐλπίς· υἱὸς γὰρ δίκαιος γεννᾶται εἰς ζωήν· καὶ ἐν ἀγαθοῖς αὐτοῦ καρπὸν δικαιοσύνης τρυγήσει. Φῶς δικαίοις διαπαντός, καὶ παρὰ Κυρίου εὑρήσουσι χάριν καὶ δόξαν. Γλῶσσα σοφῶν καλὰ ἐπίσταται, καὶ ἐν καρδίᾳ αὐτῶν ἀναπαύσεται σοφία. Ἀγαπᾷ Κύριος ὁσίας καρδίας· δεκτοὶ δὲ αὐτῷ πάντες ἄμωμοι ἐν ὁδῷ· Σοφία Κυρίου φωτιεῖ πρόσωπον συνετοῦ· φθάνει γὰρ τοὺς ἐπιθυμοῦντας αὐτήν, πρὸ τοῦ γνωσθῆναι, καὶ εὐχερῶς θεωρεῖται ὑπὸ τῶν ἀγαπώντων αὐτήν. Ὁ ὀρθρίσας πρὸς αὐτὴν οὐ κοπιάσει· καὶ ὁ ἀγρυπνήσας δι᾽ αὐτήν, ταχέως ἀμέριμνος ἔσται. Ὅτι τοὺς ἀξίους αὐτῆς αὐτὴ περιέρχεται ζητοῦσα, καὶ ἐν ταῖς τρίβοις φαντάζεται αὐτοῖς εὐμενῶς. Σοφίας οὐ κατισχύσει ποτὲ κακία. Διὰ ταῦτα καὶ ἐραστὴς ἐγενόμην τοῦ κάλλους αὐτῆς, καὶ ἐφίλησα ταύτην, καὶ ἐξεζήτησα ἐκ νεότητός μου, καὶ ἐζήτησα νύμφην ἀγαγέσθαι ἐμαυτῷ. Ὅτι ὁ πάντων Δεσπότης ἠγάπησεν αὐτήν. Μύστις γάρ ἐστι τῆς τοῦ Θεοῦ ἐπιστήμης, καὶ αἱρέτις τῶν ἔργων αὐτοῦ. Οἱ

πόνοι αὐτῆς εἰσιν ἀρεταί· σωφροσύνην δὲ καὶ φρόνησιν αὕτη διδάσκει· δικαιοσύνην καὶ ἀνδρείαν, ὧν χρησιμώτερον οὐδέν ἐστιν ἐν βίῳ ἀνθρώποις· Εἰ δὲ καὶ πολυπειρίαν ποθεῖ τις, οἶδε τὰ ἀρχαῖα καὶ τὰ μέλλοντα εἰκάζειν· ἐπίσταται στροφὰς λόγων, καὶ λύσεις αἰνιγμάτων· σημεῖα καὶ τέρατα προγινώσκει, καὶ ἐκβάσεις καιρῶν καὶ χρόνων· καὶ πᾶσι σύμβουλός ἐστιν ἀγαθή. Ὅτι ἀθανασία ἐστὶν ἐν αὐτῇ, καὶ εὔκλεια ἐν κοινωνίᾳ λόγων αὐτῆς. Διὰ τοῦτο ἐνέτυχον τῷ Κυρίῳ, καὶ ἐδεήθην αὐτοῦ, καὶ εἶπον ἐξ ὅλης μου τῆς καρδίας· Θεὲ Πατέρων, καὶ Κύριε τοῦ ἐλέους, ὁ ποιήσας τὰ πάντα ἐν λόγῳ σου, καὶ τῇ σοφίᾳ σου κατασκευάσας τὸν ἄνθρωπον, ἵνα δεσπόζῃ τῶν ὑπὸ σοῦ γενομένων κτισμάτων, καὶ διέπῃ τὸν κόσμον ἐν ὁσιότητι καὶ δικαιοσύνῃ· δός μοι τὴν τῶν σῶν θρόνων πάρεδρον σοφίαν, καὶ μή με ἀποδοκιμάσῃς ἐκ παίδων σου· ὅτι ἐγὼ δοῦλος σός, καὶ υἱὸς τῆς παιδίσκης σου. Ἐξαπόστειλον αὐτὴν ἐξ ἁγίου κατοικητηρίου σου, καὶ ἀπὸ θρόνου δόξης σου, ἵνα συμπαροῦσά μοι διδάξῃ με, τί εὐάρεστόν ἐστιν παρὰ σοί. Καὶ ὁδηγήσῃ με ἐν γνώσει, καὶ φυλάξῃ με ἐν τῇ δόξῃ αὐτῆς. Λογισμοὶ γὰρ θνητῶν πάντες δειλοί, καὶ ἐπισφαλεῖς αἱ ἐπίνοιαι αὐτῶν.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (Κεφ. δ´ 7-15).

Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι, φρόνησις

ἀνθρώποις, καὶ ἡλικία γήρως, βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς Ὁσίοις Αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς Αὐτοῦ.

Εἰς τήν Λιτήν, Ἰδιόμελα.

Ἦχος α΄.

Ἀράμενος τὸν σταυρὸν ἐπὶ τῶν ὤμων,* Τύχων πανυπέρτιμε,* προθύμως τῷ καλοῦντι Χριστῷ ἠκολούθησας* καὶ διὰ βίου* πόνοις τῆς ἀσκήσεως συσταυρωθείς Αὐτῷ,* ἐν τῷ φωτί τῆς Ἀναστάσεως συνδοξάζῃ μετ᾽ Αὐτοῦ τά νῦν, μακάριε,* μετά τῶν ἀπ᾽ αἰῶνος Ἁγίων,* τοῖς τιμίοις συνηδόμενος πνεύμασιν·* ἱκέτευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἦχος β΄.

Ἐν τοῖς Ἁγίοις αὐτῆς* ἐκαυχᾶτο ποτέ Κύπρος ἡ μακαρία,* ἡ Τύχωνα τόν Ἀμαθοῦντος Ποιμενάρχην γεννήσασα·* νῦν δέ καυχᾶται Ῥωσίας ἡ χώρα,* ἐπί Τύχωνι τῷ τέκνῳ καί Πατρί αὐτῆς.* Οὗτος γάρ*

Σαβελλίου τοῦ Διακόνου υἱός ὑπάρχων,* ἀπό νεότητος τῷ Κυρίῳ τόν αὐχένα ὑπέκλεινε,* ἐν τῇ Μονῇ τοῦ Ζολτίκωφ μαθητεύσας,* τήν τῆς μοναδικῆς πολιτείας ὁδόν,* τήν πρός Κύριον ἐπάγουσαν.* Αὐτῷ οὖν βοήσωμεν οἱ πιστοί·* τόν Κύριον, Πάτερ, ἱκέτευε,* ἵνα ἄρῃ ἁμαρτίας τόν ζυγόν* καί πάντων*ἡμῶν δεχθῇ τήν μετάνοια ν,* πρεσβείαις καί λιταῖς Σου, Ἅγιε.

Ἦχος γ΄.

Δεῦτε συμφώνως οἱ πιστοί,* τὸν τοῦ Χριστοῦ ἄρνα* καί τοῦ ποιμνίου Αὐτοῦ* τόν Ποιμένα τόν γλυκύν,* Τύχωνα τόν τοῦ Ζαντόνσκ εὐκλεές ἀπάνθισμα,* ᾄσμασιν ἐγκωμίων καταστέψωμεν,* ὡς ἀγωνισάμενον ὑπὲρ τῆς τοῦ Χριστοῦ Ἐκκλησίας* καὶ τῶν ὀρθῶν δογμάτων Αὐτῆς·* τὴν πίστιν τε τηρήσαντα* καὶ τὸν δρόμον τῆς ἀσκήσεως τελέσαντα* καὶ ἑαυτὸν ἀναλώσαντα* τῷ τῆς μετανοίας Μυστηρίῳ διακονῶν.* Αὐτῷ οὖν βοήσωμεν·* πρέσβευε, Πάτερ, ἀπαύστως,* σὺν Ἱεράρχαις καὶ Δικαίοις,* λυτρωθῆναι ἐκ κινδύνων καὶ παθῶν,* αἱρέσεων καὶ πάσης πλάνης,* τοὺς ἐν πίστει τιμῶντας,* τὴν θείαν μνήμην σου.

Ἦχος δ΄.

Ἐν τῇ πέτρᾳ τῇ στερρᾷ* τῆς εἰς Χριστὸν πίστεως,* τὸν τῆς ἀσκήσεως πηξάμενος οἶκον,* προσβολαῖς οὐ σεσάλευσαι τῶν ἐναντίων* καὶ προσρήξεσιν,* ἀλλ’ ἀκράδαντος ἔμεινας,* ἐν ὅλῳ τῷ βίῳ καὶ ἀτίνακτος,*

Τύχων Πατήρ ἡμῶν Ὅσιε·* διό ᾔσχυνας* τῇ τοῦ Σταυροῦ δυνάμει τὸν ἀόρατον ὄφιν,* ταῖς αὐτοῦ ἀνάλωτος ἐνέδραις ὀφθείς καὶ ἐπιβουλαῖς·* καθ’ οὗ ταῖς σαῖς πρεσβείαις,* ἡμᾶς τοὺς εὐφημοῦντάς σε ἐνίσχυσον.

Δόξα. Ἦχος πλ. α΄.

Δεῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ,* τῷ ἐγείραντι ἡμῖν* τόν ἐν Ἁγίοις γλυκύν Ἱεράρχην,* τόν πτωχοῖς συμπαθοῦντα καί ἐλεοῦντα,* τόν τοῖς πιστοῖς* λόγοις καί συγγραφαῖς ἀναδειχθέντα διδάσκαλον,* τόν δάκρυσιν εὐχόμενον, καιομένῃ καρδίᾳ,* Τύχωνα τόν τοῦ Ζαντόνσκ, τόν ἐν Ῥωσίᾳ νέον Χρυσόστομον.* Δεῦτε εὐφρανθῶμεν ἐπί τῇ αὐτοῦ πανηγύρει,* εὐσεβῶς αὐτῷ μελωδοῦντες·* χαῖρε, ὁ τῆς πίστεως πρόμαχος* καὶ γενναῖος ἀθλητής τῆς ἐν Χριστῷ ἀσκήσεως·* χαῖρε, Ῥωσίας καί Ἑλλάδος καί τῆς οἰκουμένης ἁπάσης* ὁ λόγοις καί γραφαῖς ἐν Κυρίῳ διδάσκαλος·* χαῖρε, τῶν χειμαζομένων ὁ ἀντιλήπτωρ* καί ἡμῶν τῶν γεραιρόντων τήν σήν σεβάσμιον μνήμην,* ἔνθερμος πρός Θεόν πρεσβευτής,* ὁ ἀπαύστως πρεσβεύων ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καί νῦν. Τῆς Ἑορτῆς. Ὁ αὐτός.

Νόμου καί Προφητῶν Σε, Χριστέ,* Ποιητήν καί Πληρωτήν ἐμαρτύρησαν,* ὁρῶντες ἐν τῇ νεφέλῃ,* Μωϋσῆς ὁ θεόπτης καί Ἠλίας ὁ ἔμπυρος

ἁρματηλάτης* καί ἄφλεκτος οὐρανοδρόμος,* ἐπί τῆς Μεταμορφώσεώς Σου·* μεθ’ ὧν καί ἡμᾶς* τοῦ Σοῦ φωτισμοῦ ἀξίωσον Δέσποτα,* ὑμνεῖν Σε εἰς τούς αἰῶνας.

Εἰς τόν Στίχον. Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.

Χαίροις, ὁ τοῦ Ζαντόνσκ θησαυρός,* τῆς Ἐκκλησίας τοῦ Χριστοῦ ὁ διάκοσμος,* ἡ δόξα Αὐτῆς καί κλέος καί τῶν πιστῶν στηριγμός·* τῶν ἁμαρτανόντων ἡ διόρθωσις,* πιπτόντων ἀνόρθωσις,* ὀχλουμένων διάσωσις,* δεινῶς πασχόντων* ἐν Κυρίῳ ἡ ἴασις,* κατατρυχομένων πειρασμοῖς ἡ ἐνίσχυσις·* χαίροις Πάτερ ἀοίδημε,* δοχεῖον τῆς χάριτος,* ναέ τοῦ μόνου Δεσπότου* Πατρός, μονή ἡ τοῦ Πνεύματος·* τῷ Λόγῳ πρεσβείαν,* ἱκετεύομεν μή παύῃς* ποιεῖν ἑκάστοτε.

Στ. *Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*

Χαίροις* θεία Μονή τοῦ Ζαντόνσκ* καί Νοβογράδας ἡ ἀρχαία Μητρόπολις* καί Ῥώσων ἡ Ἐκκλησία,* ἐπί τῷ τέκνῳ ὑμῶν* καί Πατρί ἡμῶν Τύχωνι, τῷ θεόφρονι·* αὐτός ἐν ἀγῶσι γάρ* ἀσκητικοῖς βίον ἤνυσε,* τῶν πρό ἐκείνου* θείων Πατέρων μιμούμενος* βίον ἔνθεον* καί βιοτήν τήν οὐράνιον.* Πάντες οὖν ἐκβοήσωμεν* αὐτῷ μετά πίστεως,* χεῖρας κροτοῦντες αἰνέσει·* χαῖρε Πατήρ ἡμῶν ἥδιστε,* Χριστοῦ Ἐκκλησίας* πανευφρόσυνόν τε κλέος καί ἐνδιαίτημα.

Στ. *Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ, ἐθαμαύστωσεν ὁ Κύριος.*

Χαίροις, τῆς Ἐκκλησίας φωστήρ,* Ζαντόνσκ τῆς Μάνδρας* τέκνον καί θρέμμα πανάξιον,* ὁ κόσμος Ὀρθοδοξίας,* ὁ φῶς προχέων ἡμῖν* τῷ τοῦ Παρακλήτου, πανσεβάσμιε·* μή ἐπιλάθου δεόμεθα* τῆς σῆς πατρίδος, πλήν πρέσβευε,* Χριστῷ Κυρίῳ* ὑπέρ αὐτῆς, ἵνα ῥύεται* παντός κινδύνου καί δεινῆς περιστάσεως.* Πρόφθασον ταῖς πρεσβείαις σου,* Τύχων, θερμαῖς πρός Φιλάνθρωπον·* φώτισον, Πάτερ, τούς σκότει* παθῶν δεινῶν περιπίπτοντας·* καί δώρησαι πᾶσι* φωτισμόν Πνεύματος θείου* Ὅ σύ ἐλειτούργησας.

Δόξα. Ὁ αὐτός.

Δεῦτε πιστοί,* τόν νέον Χρυσόστομον,* τόν γλυκύν τοῖς λόγοις,* ὁμοῦ καί τοῖς τρόποις,* Τύχωνα τόν μακάριον,* ὕμνοις ἐγκωμίων καταστέψωμεν,* αὐτῷ βοῶντες·* χαῖρε, τό τῆς Ῥωσίας ἄνθος τό εὔοσμον,* τό μυρίζον ὀδμαῖς ἁγιότητος* τόν κόσμον ἅπαντα·* χαῖρε, ὁ πατήρ ὁ γλυκύς,* ὁ τῶν ψυχῶν ὁδηγός καί ποδηγέτης* πρός μονάς οὐρανίους·* χαῖρε, ὁ παραμυθήσας παραμυθίᾳ οὐρανίῳ,* τάς ψυχάς τῶν πρός σέ προσελθόντων.* Μή διαλείπῃς, Πάτερ, πρεσβεύων* ὑπέρ τῶν τιμώντων τήν μακαρίαν μνήμην σου.

Καί νῦν. Τῆς Ἑορτῆς. Ὁ αὐτός.

Δεῦτε ἀναβῶμεν εἰς τό ὄρος Κυρίου* καί εἰς τόν οἶκον τοῦ Θεοῦ ἡμῶν* καί θεασώμεθα τήν δόξαν τῆς Μεταμορφώσεως Αὐτοῦ, δόξαν ὡς μονογενοῦς παρά Πατρός·* φωτί προσλάβωμεν φῶς* καί μετάρσιοι γενόμενοι τῷ πνεύματι,* Τριάδα ὁμοούσιον ὑμνήσωμεν* εἰς τούς αἰῶνας.

Νῦν ἀπολύεις, Τρισάγιον, Ἀπολυτίκια.

Τῆς Ἑορτῆς.

Δόξα. Τοῦ Ἁγίου. Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Τὴν τοῦ κόσμου ἡδύτητα ἀρνησάμενος,* εἰς ὁδὸν σωτηρίας πόθῳ προσέδραμες,* βίον ἰσάγγελον βιώσας ἄριστα·* ὅθεν ἀλείπτης μοναστῶν* καὶ κυβερνήτης τῶν ψυχῶν* πανάριστος ἀνεδείχθης·* Τύχων ἀοίδιμε Πάτερ,* ἡμᾶς λιταῖς σου καὶ νῦν περίσωζε.

Καί νῦν. Πάλιν τῆς Ἑορτῆς.

Ἀπόλυσις.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα. Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.

Ἀνεδείχθης ἀληθῶς,* τῆς Ἐκκλησίας καλλονή,* τῶν μοναστῶν ὑπογραμμός,* παραμυθίας ἡ πηγή*

Ὀρθοδοξίας σέμνωμα, θεῖε Τύχων·* ὅθεν πατρικῶς* πάντας ἠγάπησας,* γνώσει ἀληθεῖ καὶ λόγῳ κρείττονι,* καθοδηγήσας, Ἅγιε, τῆς εὐσεβείας,* τούτους πρός πόλιν τήν μένουσαν·* διό δυσώπει* πᾶσι δοθῆναι* πταισμάτων, Πάτερ, τήν συγχώρησιν.

Δόξα. Καί νῦν. Τῆς Ἑορτῆς. Ὅμοιον.

Τήν τῶν βροτῶν ἐναλλαγήν* τήν μετά δόξης Σου, Σωτήρ,* ἐν τῇ δευτέρᾳ καί φρικτῇ* τῆς Σῆς ἐλεύσεως δεικνύς,* ἐπί τοῦ ὄρους Θαβώρ μετεμορφώθης.* Ἠλίας καί Μωσῆς* συνελάλουν Σοι·* τούς τρεῖς τῶν Μαθητῶν* συνεκάλεσας,* οἵ κατιδόντες, Δέσποτα, τήν δόξαν Σου,* τῇ ἀστραπῇ Σου ἐξέστησαν.* Ὁ τότε τούτους* τό φῶς Σου λάμψας,* φώτισον τάς ψυχάς ἡμῶν.

Μετὰ τὴν β΄ Στιχολογίαν, Κάθισμα. Ὅμοιον.

Τῆς τοῦ Ζαντόνσκ θείας Μονῆς* ἴον ἐδείχθης εὐκλεές,* τὴν νηστείαν ἐνδυθεὶς* ὡς πανοπλίαν ἰσχυράν,* δι' ἧς δαιμόνων κατέβαλες, Τύχων, στίφη·* ὅθεν πνευματικός* Πατήρ ἐφάνης πιστοῖς,* φέρων φωτισμόν* τοῦ Παρακλήτου αὐτοῖς* καί μεταγγίζων τοῦτον τοῖς προσιοῦσι·* τῶν Ὀρθοδόξων* χαῖρε ἡ δόξα,* ὁμοῦ δέ κλέος, πανυπέρτιμε.

Δόξα. Καί νῦν. Τῆς Ἑορτῆς. Ὅμοιον.

Ἐν τῷ ὄρει τῷ Θαβώρ* μεταμορφούμενος Σωτήρ,* τοῖς προκρίτοις Μαθηταῖς* δείξας τήν δόξαν Σου

Χριστέ,* τό ἀναλλοίωτον ἤστραψας τῆς θεότητος·* νεφέλη δέ φωτός* συνεκάλεσας,* Ἠλίαν καί Μωσῆν* συλλαλοῦντας Σοι·* διό καί Πέτρος ἔλεγεν,* Οἰκτῖρμον,* καλόν ἐστιν ὧδε εἶναι σύν Σοί.* Ὁ τότε τούτοις* τό φῶς Σου λάμψας,* φώτισον τάς ψυχάς ἡμῶν.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα. Ἦχος δ'. Ὁ ὑψωθείς ἐν τῷ σταυρῷ.

Ὁ τοῦ Ζαντόνσκ τῆς θείας Μάνδρας ἀστέρας* καί τῆς Ῥωσίας εὐκλεέστατος γόνος,* παρά Χριστοῦ μεγάλην χάριν ἔλαβεν·* Ὁσίων ἐγκαλλώπισμα,* ὑπόδειγμα μοναχῶν τε* ἀναδέδεικται·* πάντας οὖν νῦν προσκαλεῖται,* μνήμην τελέσαι ὕμνοις τήν αὐτοῦ,* οὗ ταῖς πρεσβείαις* συμπάθησον Κύριε.

Δόξα. Καί νῦν. Τῆς Ἑορτῆς. Ὅμοιον.

Ὁ ἀνελθών σύν Μαθηταῖς ἐν τῷ ὄρει* καί ἐν τῇ δόξῃ τοῦ Πατρός ἀπαστράψας,* σύν Μωϋσῇ Ἠλίας Σοι παρίστανται·* Νόμος καί Προφῆται γάρ* ὡς Θεῷ λειτουργοῦσιν·* ᾧ καί τήν υἱότητα* τήν φυσικήν ὁ Γεννήτωρ* ὁμολογῶν ἐκάλεσεν Υἱόν·* Ὅν ἀνυμνοῦμεν* σύν Σοί καί τῷ Πνεύματι.

Οἱ Ἀναβαθμοί· τό α' Ἀντίφωνον τοῦ δ' ἤχου.

Προκείμενον. *Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.*

Στ. *Μακάριος ἀνήρ ὁ φοβούμενος τόν Κύριον.*

Εὐαγγέλιον ἐκ τοῦ κατά Ἰωάννην (Κεφ. ι΄ 1-9).

Εἶπεν ὁ Κύριος πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν Ἰουδαίους· ἀμὴν, ἀμὴν λέγω ὑμῖν, ὅτι ὁ μὴ εἰσερχόμενος διὰ τῆς θύρας εἰς τὴν αὐλὴν τῶν προβάτων, ἀλλὰ ἀναβαίνων ἀλλαχόθεν, ἐκεῖνος κλέπτης ἐστὶ καὶ λῃστής· ὁ δὲ εἰσερχόμενος διὰ τῆς θύρας ποιμήν ἐστι τῶν προβάτων. Τούτῳ ὁ θυρωρὸς ἀνοίγει καὶ τὰ πρόβατα τῆς φωνῆς αὐτοῦ ἀκούει· καὶ τὰ ἴδια πρόβατα καλεῖ κατ' ὄνομα καὶ ἐξάγει αὐτά. Καὶ ὅταν τὰ ἴδια πρόβατα ἐκβάλῃ, ἔμπροσθεν αὐτῶν πορεύεται καὶ τὰ πρόβατα αὐτῷ ἀκολουθεῖ, ὅτι οἴδασι τὴν φωνὴν αὐτοῦ. Ἀλλοτρίῳ δὲ οὐ μὴ ἀκολουθήσωσιν, ἀλλὰ φεύξονται ἀπ' αὐτοῦ, ὅτι οὐκ οἴδασι τῶν ἀλλοτρίων τὴν φωνήν. Ταύτην τὴν παροιμίαν εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· ἐκεῖνοι δὲ οὐκ ἔγνωσαν τίνα ἦν ἃ ἐλάλει αὐτοῖς. Εἶπεν οὖν πάλιν αὐτοῖς ὁ Ἰησοῦς· ἀμὴν, ἀμὴν λέγω ὑμῖν, ὅτι ἐγώ εἰμι ἡ θύρα τῶν προβάτων. Πάντες ὅσοι ἦλθον πρὸ ἐμοῦ, κλέπται εἰσὶ καὶ λῃσταί· ἀλλ' οὐκ ἤκουσαν αὐτῶν τὰ πρόβατα. Ἐγώ εἰμι ἡ θύρα· δι' ἐμοῦ ἐάν τις εἰσέλθῃ, σωθήσεται καὶ εἰσελεύσεται καὶ ἐξελεύσεται καὶ νομὴν εὑρήσει.

Ὁ Ν΄ (50) Ψαλμός.

Δόξα. Ταῖς τοῦ Ἱεράρχου...

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...

Ἰδιόμελον. Ἦχος πλ. β΄. Στ. *Ἐλέησόν με ὁ Θεός...*

Σήμερον, πάντες οἱ πιστοί,* τὸν ὡραϊσμένον ἐν κάλλεσι* τῆς καλλοποιοῦ ἀσκήσεως Τύχωνα εὐφημήσωμεν.* Οὗτος γάρ ὡς λαμπρὸς ἀστὴρ* ἀνέτειλεν ἐν τῷ τῆς Ἐκκλησίας στερεώματι* καὶ θείοις ἀγῶσι ἀφθαρσίαν προσεκτήσατο·* καὶ νῦν αὐλίζει ἐν οὐρανῷ,* τοῖς ἄνω γηθόμενος χορείαις τῶν Ἁγίων,* μεθ' ὧν πρεσβεύει ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Εἶτα οἱ Κανόνες· τῆς Ἑορτῆς ὁ πρῶτος καὶ ὁ τοῦ Ἁγίου, δοξαστικός ἅμα τε καί ἱκετευτικός, οὗ ἡ ἀκροστιχίς ἐν τοῖς Θεοτοκίοις· *ΑΝΤΩΝΙΟΥ.*

ᾨδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.

Χάρισαί μοι λόγον, Τριάς σεπτή,* λιταῖς τοῦ ἁγίου* Λειτουργοῦ Σου καί φωτισμόν,* ὅπως δυνηθῶ τοῦ ἀνυμνῆσαι,* τὰ κατ' ἐχθροῦ αὐτοῦ ἔνδοξα τρόπαια.

Ἀγάπης τόν ἔμπλεον, ἀδελφοί,* ὑμνήσωμεν ὕμνοις* θεαρέστοις καί τήν αὐτοῦ* τιμήσωμεν μνήμην θεαρέστως*, ὡς θεαρέστως ἐν κόσμῳ βιώσαντος.

Ἴον εὐωδέστατον τοῦ Σταυροῦ,* κρῖνον ἐκβλαστῆσαν* ἐν τῆς Ῥωσίας ἁγίᾳ γῇ,* ῥόδον εὐωδέστατον καί ἴον* τῇ Ἐκκλησίᾳ ἐδείχθης, πανόλβιε.

Θεοτοκίον.

Ἄνασσα Κόρη, ὑπερφυῶς,* τέτοκας τόν Λόγον* ὁμοούσιον τῷ Πατρί* καὶ Πνεύματι ἅμα· διὸ πάντες,* ὡς Θεοτόκον ἀεὶ μακαρίζομεν.

Ὠδή γ΄. Οὐρανίας ἁψίδος.

Ἱκετεύομεν, Πάτερ,* ἡμῶν τά πάθη καί τραύματα,* σπεῦσον σαῖς ἁγίαις πρεσβείαις,* ταχέως ἴασαι·* ἵν᾿εὐφημῶμεν σε,* Ἀρχιερέων τό κλέος,* Τύχων πολυθαύμαστε,* Ζαντόνσκ τό καύχημα.

Ἐμπαθείας νικήσας* τούς λογισμούς, Ἅγιε,* πράος καὶ ἀκέραιος ὤφθης* καὶ πλήρης χάριτος,* παιδεύων τέκνα σου* πρὸς ἐπιδόσεις ἁγίας* καί παραμυθῶν αὐτά,* ὦ Τύχων, πάντοτε.

Ὡραΐσας ἀγῶσι* τῶν ἀρετῶν ἄρουραν,* Πάτερ, τῆς καρδίας σου στάχυν* πολύχουν ἤνεγκας,* Τύχων πανόλβιε,* δι᾿ οὗ ἡμῶν διατρέφεις* τὰς ψυχὰς, ἐν χάριτι* τοῦ θείου Πνεύματος.

Θεοτοκίον.

Νεῦσον, Κυρία Παρθένε,* ἡ τόν Κύριον τέξασα,* σπεῦσον νῦν καί λύτρωσαι πάντας* ἀπό κινδύνων καί θλίψεων·* σύν σοί δέ φέρομεν,* πρός Κύριον πρεσβείαν,* Τύχωνα τόν ἔνδοξον,* Ζαντόνσκ τό καύχημα.

Κάθισμα. Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.

Τόν Λόγου κήρυκα, πιστοί,* λόγους κηρύξαντα χρυσούς,* ἀξιωθέντα δέ ἰδεῖν* ἐσταυρωμένον Ἰησοῦν,* ἐκ τοῦ Σταυροῦ κατερχόμενον καί πρός τοῦτον* λαλοῦντα ἐν φωνῇ* ἀγαλλιάσεως* λόγους αὐτῷ τερπνούς,* φωνῇ τιμήσωμεν* ἀγαλλιάσεως ἡμεῖς τε οἱ περιπίπτοντες* ἐν ἀτιμίας πάθεσι·* αὐτῷ βοῶντες* πρόφθασον, Πάτερ,* ἡμᾶς ἐλέησον πρεσβείαις σου.

Δόξα. Καί νῦν. Τῆς Ἑορτῆς. Ὅμοιον.

Ἐπί τό ὄρος τό Θαβώρ* μετεμορφώθης ὁ Θεός,* ἀναμέσον Ἠλιοῦ* καί Μωϋσέως τῶν σοφῶν,* σύν Ἰακώβῳ καί Πέτρῳ καί Ἰωάννῃ·* ὁ Πέτρος δέ συνῶν* ταῦτά Σοι ἔλεγεν·* καλόν ὧδέ ἐστι* ποιῆσαι τρεῖς σκηνάς,* μίαν Μωσεῖ καί μίαν Ἠλίᾳ* καί μίαν Σοί τῷ Δεσπότῃ Χριστῷ.* Ὁ τότε τούτοις* τό φῶς Σου λάμψας,* φώτισον τάς ψυχάς ἡμῶν.

Ὠδή δ΄. Εἰσακήκοα Κύριε.

Τύχων θεῖε ἐπάκουσον,* λύτρωσαι κινδύνων τοὺς σὲ γεραίροντας* καὶ τιμῶντάς σου τό λείψανον,* ὅ ἡμῖν ἐλέει σου δεδώρηται[1].

Ἱκετεύομεν ἔνδοξε,* τὴν νενεκρωμένην ψυχὴν ἡμῶν καί ὄζουσαν,* ταῖς πρεσβείαις σου ἀνάστησον,* ἐραστά Κυρίου πανσεβάσμιε.

Βαρυνθέντας τοῖς πάθεσι,* ὡς ἔχων παρρησίαν, Πάτερ ἱκέτευε,* τοῖς ὑμνοῦσί σε δωρήσασθαι,* τῶν πλημμελημάτων τὴν συγχώρησιν.

Θεοτοκίον.

Τῆς Μητρός Σου δεήσεσι,* Τύχωνος ὁμοῦ τε Κύριε δώρησαι,* τοῖς ἱκέταις Σου τὴν ἄφεσιν,* τῶν πλημμελημάτων, Ὑπεράγαθε.

Ὠδή ε΄. Φώτισον ἡμᾶς.

Ἆρον ἀφ᾽ ἡμῶν* ἁμαρτίας τῇ πρεσβείᾳ σου* τόν βαρύτατον ζυγόν καί τῆς φθορᾶς* τούς ἱκέτας σου ἀπάλλαξον, θεσπέσιε.

Σῶσον τάς ψυχάς* τῶν σπευδόντων τῷ λειψάνῳ σου* φιλαργυρίας ἐξαιρούμενος ἡμᾶς,* Τύχων Πάτερ τῷ Κυρίῳ παμπόθητε.

Σῶσον τούς πιστῶς* τῷ λειψάνῳ σου προστρέχοντας,* Τύχων Πάτερ, καί αἰτουμένους παρά σοῦ* ἀσθενείας ἐξ ἁπάσης νῦν τήν ἴασιν.

Θεοτοκίον.

Ὡράϊσόν με, Ἁγνή,* ταῖς ἀκτῖσι τοῦ προσώπου Σου,* τὸ καθαρὸν Χριστοῦ παλάτιον* καὶ καθορᾶν με τῆς μορφῆς Αὐτοῦ ἀξίωσον.

ᾨδή στ΄. Τήν δέησιν ἐκχεῶ.

Μνημόνευσον* πάντων ἡμῶν Ἀρχιθύτα,* τῇ οὐρανίῳ ἱστάμενος Τραπέζῃ,* μέσον χοροῦ Ἱεραρχῶν καί Πατέρων,* τοῖς τῷ Κυρίῳ τόν αἶνον προσφέρουσι·* πρέσβυν γάρ σέ πρός Αὐτόν* ἐπιγραφόμεθα, Πάτερ θεσπέσιε.

Τόν ἄραντα* τήν ἁμαρτίαν τοῦ κόσμου* καί ἐν Κρανίῳ καταργήσαντα ταύτην,* ἀπό παιδός ἀγαπήσας, ὦ Τύχων,* Ζαντόνσκ τήν Μάνδραν τήν θείαν κατῴκησας,* ἐν ᾗ ἐκαθήρας σήν ψυχήν,* εἰς τήν ἀγάπην Αὐτοῦ ἐστερεώσω.

Ἀνάστηθι* ἀνεβόας, ὦ Τύχων,* πρός τούς εἰς σέ προσερχομένους καί ἔργοις* τῆς μετανοίας, Χριστῷ τῷ Κυρίῳ,* εὐαρεστῆσαι σπεύσατε λέγοντες·* ἱλάσθητι ἡμῖν, Σωτήρ,* ὁ ἐκ Παρθένου τεχθείς, Ὑπεράγαθε.

Θεοτοκίον.

Νενίκημαι,* ὑπό παθῶν τῶν τοῦ βίου* τῶν ἀκαθάρτων, ἅ μολύνουσι, Μῆτερ,* τήν ἐν ἐμοί τοῦ Κυρίου εἰκόνα·* παρηγορίας πηγή παρηγόρησον,* τόν δάκρυσι καί στεναγμοῖς* κατατρυχόμενον, Κόρη Πανύμνητε.

Κοντάκιον. Ἦχος δ΄. Τῇ Ὑπερμάχῳ.

Βορονέζ τῷ Ἐπισκόπῳ προσκομίζοντες* μύρα δόξης καί αἰνέσεως, προσείπωμεν* τούτῳ λόγον ἐκ ψυχῆς,* ῥήματα εὐλογίας,* εὐλογοῦντες Ἰησοῦν

τόν ἀναδείξαντα,* κοινωνόν Αὐτοῦ τῆς δόξης καί χρηστότητος·* διό βοῶμεν αὐτῷ·* χαίροις Πατέρων ἡ σεμνότης.

Ὁ Οἶκος.

Ἀστήρ ἀνεφάνης ἐκ Ῥωσίας, θεόφρον,* ἐν ἀσκήσει ἀγωνισάμενος·* ἐκεῖθεν δέ ἀνατείλας τ ῷ κόσμῳ,* αὐγάζεις ἡμᾶς ταῖς σαῖς διδαχαῖς* καί τῇ πίστει στηρίζεις ἅπαντας·* ὅθεν τιμῶντες σ ε βοῶμεν σοι ταῦτα·

Χαίροις, φωτός τοῦ οὐρανίου κειμήλιον·

χαίροις, πυρὸς τῆς πλάνης σβεστήριον.

Χαίροις, ἥλιε ὁλόφωτε τῆς Ἐκκλησίας τοῦ Χριστοῦ·

χαίροις, βάσις ἀρραγεστάτη τοῦ ποιμνίου τοῦ Θεοῦ.

Χαίροις, ὁ ὑποστάς τούς τῆς ἀσκήσεως πόνου ς·

χαίροις, ὁ φανείς ὑπέρ τούς τῆς φύσεως νόμ ους.

Χαίροις, ἀπάνθισμα ὡραιότατον Ζαντόνσκ τῆς Μάνδρας·

χαίροις, ἀγλάισμα τερπνότατον οὐρανίου τῆς Λαύρας.

Χαίροις, ὁ ὑπάρχων τῶν πιστῶν λαμπρότης·

χαίροις, ὁ ἐντυγχάνων τῆς Ἐκκλησίας φαιδρότης.

Χαίροις, ὑπόδειγμα τῶν σεπτῶς μοναζόντων·

χαίροις, προστάτα τῶν ἐν πίστει βοώντων·

Χαίροις Πατέρων ἡ σεμνότης.

Συναξάριον.

Τῇ 13η τοῦ αὐτοῦ μηνός, μνήμη τοῦ Ἁγίου Τύχωνος τοῦ Ζαντόνσκ, Ἐπισκόπου Βορονέζ τοῦ ἐν Ῥωσίᾳ, τοῦ ἀποκληθέντος νέου Χρυσοστόμου, ὁσιακῶς τελειωθέντος ἐν ἔτει 1783.

Στίχοι·

*Τόν θρόνον λιπών ἐπισκοπῆς ἀνθρώπων,*

*Ἐπίσκοπος αὐτῶν ἐγένου διά τοῦ λόγου.*

*Τῇ δεκάτῃ τρίτῃ Τύχων πρός οὐρανούς ἀνῆλθε,*

*ἡμῖν καταλιπών ἄφθορον αὐτοῦ τό θεῖον σκῆνος.*

Ταῖς αὐτοῦ ἁγίαις πρεσβείαις, Χριστέ ὁ Θεός, ἐλέησον καί σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδή ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.

Ῥῦσαι ἀπό κινδύνων* τῶν νῦν ἐπερχομένων,* ἐφ’ ἡμᾶς τούς ἀνιάτως νοσήσαντας·* Ζαντόνσκ Μονῆς τό

κλέος,* Βορονέζ πολιοῦχε,* πάντων ἡμῶν πρός Χριστόν ὁ θερμότατος* ἐν παρρησίᾳ πρεσβευτής,* ὁ φιλαδέλφως δεόμενος πάντοτε.

Ὅλως ἡγιασμένος,* ὅλως κεκαθαρμένος,* ὅλως οὐράνιος ὤφθης, κἄν ἄνθρωπος,* ἀγγελικῶν ταγμάτων* τήν βιοτήν ζηλώσας* καί ἀσκήσει βίου ταύτης τετύχηκας* καί γέγονας τοῖς ἐν τῇ γῇ* θείων Ἀγγέλων τό ἔμψυχον ἔκτυπον.

Ὑπό Σταυροῦ τήν σκέπην* τήρησον σούς ἱκέτας,* τούς προσιόντας ἐν πίστει σά λείψανα·* τήν δύναμιν γάρ ἔχεις,* ὡς ἔχων παρρησίαν* πρός τόν Δεσπότην τῶν ὅλων καί Κύριον,* τόν ἐν Κρανίῳ καί Σταυρῷ* τήν ἁμαρτίαν ἡμῶν καταργήσαντα.

Θεοτοκίον.

Ἴασιν δώρησαί μοι,* ὡς καί παρηγορίαν,* τῶν προστρεχόντων Σοι πίστει ἡ πρόμαχος·* Σοί γάρ προσπίπτω, Κόρη,* τῇ Σῇ ἐπιστασίᾳ* καί γηθοσύνως κραυγάζω Σοι·* μή ἐπιλάθου Σοῦ λαοῦ,* ὅς ἀνακράζει ἐμπόνως, Σύ πρόφθασον.

Ὠδή η΄. Τόν Βασιλέα.

Τείχισον, Πάτερ,* ταῖς πρός Θεόν σαῖς πρεσβείαις,* ἡμῶν τόν βίον, τῶν σοῦ ἐπιδεομένων,* ὁδηγῶν πρός ἄνω* τάς τοῦ νοός κινήσεις.

Ὅσοι ἐν πίστει* εἰλικρινεῖ προσιοῦσι,* τῇ θήκῃ τοῦ σεπτοῦ καί θείου σου λειψάνου,* ψυχῶν τε καί σωμάτων* λαμβάνουσι τήν ῥῶσιν.

Ῥωσίας μέγας* διδάσκαλος ἐδείχθης,* λόγοις ἱεροῖς καί διδαχαῖς σου, Τύχων·* διό ἡμῶν προστάτης* καί βοηθός νῦν πέλεις.

Θεοτοκίον.

Ὅρμησον πάντας,* Παρηγορήτισσα Κόρη,* παρηγορίᾳ τῇ Σῇ ἐν οὐρανίῳ ὅρμῳ* γαλήνης διαρκούς,* πρεσβείαις πρός Υἱόν Σου.

Ὠδή θ΄. Κυρίως Θεοτόκον.

Λῦσον μου τήν πτωχείαν* τοῦ ταῦτα στιχουργοῦντος* καί σαῖς πρεσβείαις πρός Κύριον, Ἅγιε,* καί πλούτισον ἐμήν ψυχήν,* τῶν δωρεῶν καί χαρίτων τοῦ Πνεύματος.

Εὐχαῖς σου τάς σειράς μου* τῶν πταισμάτων λῦσον* καί τό χειρόγραφον, Πάτερ, διάρρηξον* τῆς ἁμαρτίας, τοῦ τήν σήν* ἁγίαν μνήμην τοῖς πᾶσι κηρύττοντος.

Ὁδόν τῆς μετανοίας* ἀξίωσον βαδῖσαι,* τοῦ Ἀσώτου ἑπόμενος ἴχνεσι,* ὡς καί τῆς Πόρνης καί δακρύων ταῖς ῥοαῖς* ψυχήν καθᾶραι πρεσβείαις σου δώρησαι.

Θεοτοκίον.

Ὑπέρ τῶν Σέ ὑμνούντων* μή παύῃ, Θεοτόκε,* τοῦ ἱκετεύειν ἐλέους τόν Πρύτανην,* Υἱόν γλυκύν Σου Ἰησοῦν,* τοῦ ἐλεῆσαι καί σῶσαι τούς δούλους Σου.

Ἐξαποστειλάριον. Φῶς ἀναλλοίωτον Λόγε.

Φῶς τοῖς λαοῖς ἐγένου* Τύχων Ζαντόνσκ Ἱεράρχα,* φῶς τοῦ Κυρίου προχέον* γραφαῖς καί λόγοις σοῖς, Πάτερ·* ὅθεν τό φῶς ἡμῖν δίδου* τό ἐκ Πατρός διά Λόγου.

Τῆς Ἑορτῆς. Ὅμοιον.

Φῶς ἀναλλοίωτον Λόγε,* φωτός Πατρός ἀγεννήτου,* ἐν τῷ φανέντι φωτί Σου* σήμερον ἐν Θαβωρίῳ,* φῶς εἴδομεν τόν Πατέρα,* φῶς καί τό Πνεῦμα,* φωταγωγοῦν πᾶσαν κτίσιν.

Εἰς τούς Αἴνους, ἱστῶμεν στίχους δ΄ καί ψάλλομεν Στιχηρά Προσόμοια. Ἦχος α΄. Τῶν οὐρανίων Ταγμάτων.

Τῶν σέ τιμώντων τὸν ὕμνον* δέχου, πανεύφημε,* καὶ τὰς αἰτήσεις πάσας* πρὸς Θεὸν μεταφέρων,* ἐνίσχυσον ἱκέτας σου, ἱερέ,* ταῖς ἁγίαις πρεσβείαις σου* καὶ τὰς ᾠδὰς τῶν ὑμνούντων σε ἱερῶς* μὴ παρίδῃς, ὡς φιλάδελφος.

Χαίροις Ῥωσίας ἡ δόξα,* Βορόνεζ καύχημα,* Μονῆς Ζαντόνσκ τό κλέος* καὶ ἐλπὶς ὑμνητῶν σου·* χαῖρε Κυρίου ὁ δοῦλος ὁ ἀγαθὸς,* ὁ μὴ κρύψας τὸ

τάλαντον·* διό τήν μνήμην ἐν ᾄσμασι καί ᾠδαῖς* τήν πανίερον τιμῶμέν σου.

Ἱεραρχῶν ὁμηγύρει* τῇ οὐρανίῳ, σεπτέ,* ἔργοι ς τοῖς σοῖς καί πόνοις* ἐνταχθείς νῦν χορεύεις* ἀέναον τόν ὕμνον πρός τόν Θεόν* ἀναμέλπων μακάριε·* διό τήν μνήμην ἐν ᾄσμασι καί ᾠδαῖς* τήν πανίερον τιμῶμέν σου.

Δικαιοσύνης ἐργάτης* φανείς, θεσπέσιε,* ἐν οὐρανοῖς τῆς δόξης* ἐνατενίζεις νῦν θρόνον·* τῷ ἐν τούτῳ καθημένῳ βοῶν ἐς ἀεί* τήν τρισάγιον αἴνεσιν·* διό τήν μνήμην ἐν ᾄσμασι καί ᾠδαῖς* τήν πανίερον τιμῶμέν σου.

Δόξα. Ἦχος πλ. δ'.

Ὡς κρίνον νεόδρεπτον,* ἐν Παραδείσῳ φυτευθέν,* τὴν ψυχήν σου καθορῶντες* εὐφραινόμεθα, Ἅγιε·* καὶ τὴν ὁσιακήν σου πολιτείαν* θεωροῦντες ἐκπληττόμεθα.* Ἐν τοῦ Ζαντόσκ γάρ τῇ Μονῇ ἐνασκήσας,* ὡς ῥύαξ ἐκεῖθεν ἐπήγασας* δρόσον οὐράνιον ταῖς ψυχαῖς* τῶν πάθεσι καταφλεγομένων.* Μετά λῆξιν δέ,* τῇ τοῦ λειψάνου σου χάριτι,* ἄνεσιν ἐπομβρίζεις τοῖς δεομένοις* καί εὐλογοῦσι Χριστόν* τόν σέ δοξάσαντα.

Καί νῦν. Τῆς Ἑορτῆς.

Παρέλαβεν ὁ Χριστός* τόν Πέτρον καί Ἰάκωβον καί Ἰωάννην,* εἰς ὄρος ὑψηλόν κατ' ἰδίαν* καί

μετεμορφώθη ἔμπροσθεν αὐτῶν·* καί ἔλαμψε τό πρόσωπον Αὐτοῦ ὡς ὁ ἥλιος,* τά δέ ἱμάτια αὐτοῦ* ἐγένετο λευκά ὡς τό φῶς·* καί ὤφθησαν Μωϋσῆς καί Ἠλίας* μετ᾽ Αὐτοῦ συλλαλοῦντες·* καί νεφέλη φωτεινή ἐπεσκίασεν αὐτούς·* καί ἰδού φωνή ἐκ τῆς νεφέλης λέγουσα·* Οὗτός ἐστιν ὁ Υἱός μου ἡ ἀγαπητός,* ἐν ᾧ ηὐδόκησα·* Αὐτοῦ ἀκούετε.

Δοξολογία Μεγάλη καί Ἀπόλυσις.

Μεγαλυνάρια.

Χαίροις, πενομένων ὁ φροντιστής,* ὁ τοῦ Παρακλήτου* διαλάμψας θείῳ φωτί*· χαίροις, ὁ Ῥωσίας* γόνος καί Νοβογράδας* ἅς περισκέπεις, Πάτερ,* τῇ μεσιτεία σου.

Χαίροις, ὁ δεξάμενος τῇ ψυχῇ,* φῶς τοῦ Παρακλήτου* τό φωτίζον καί ὁδηγοῦν·* χαίροις, ὁ διδάσκων* καί μετά λῆξιν, Τύχων,* ἀλήθειαν Κυρίου* τοῖς θείοις λόγοις σου.

Στίχοι·

*Ἁγίαις σου εὐχαῖς τείχισον τόν ὑμνοῦντα,*

*τήν σήν βιοτήν, Μονῆς Ζαντόνσκ τό κλέος.*

[1] Ἀπότμημα τοῦ ἀδιαφθόρου Λειψάνου τοῦ ἁγ. Τύχωνος φυλάσσεται εἰς τήν Συλλογήν τοῦ Κέντρου

Ἁγιολογικῶν Μελετῶν «Ὅσιος Συμεὼν ὁ Μεταφραστής».

